
[…]ον ἄρα ἐστὶ καὶ ἑκάτερον τῶν ἀπὸ τῶν ΛΟ ΟΝ. μέση ἄρα ἐστὶν ἑκα-
τέρα τῶν ΛΟ ΟΝ. καὶ ἐπεὶ ἀσύμμετρόν ἐστι τὸ ΔΙ τῷ ΖΚ.
ἀσύμμετρον ἄρα καὶ τὸ ἀπὸ τῆς ΛΟ τῷ ἀπὸ τῆς
ΟΝ. [illegible] ἀσύμμετρον ἐδείχθη τὸ ΔΙ τῷ ΕΚ.
ἀσύμμετρον ἄρα ἐστὶ καὶ τὸ ΛΜ [illegible] τὸ ἀ-
πὸ τῆς ΛΟ [illegible] ἴσον τῷ ὑπὸ τῶν ΛΟ ΟΝ [illegible] ἀσύμ-
μετρός ἐστι μήκει [illegible] ΟΝ. αἱ ΛΟ ΟΝ ἄρα μέσαι εἰσὶ δυνά-
μει μόνον σύμμετροι. λέγω δὴ ὅτι καὶ μέσον περιέχου-
σιν. [illegible] ἐδείχθη τὸ ΕΚ καὶ ἔστιν ἴσον τῷ ὑπὸ
τῶν ΛΟ ΟΝ. μέσον ἄρα ἐστὶ καὶ τὸ ὑπὸ τῶν ΛΟ ΟΝ. ὥστε
αἱ ΛΟ ΟΝ μέσαι εἰσὶ δυνάμει μόνον σύμμετροι μέσον περι-
έχουσαι. ἡ ΛΝ ἄρα μέσης ἀποτομή ἐστι δευτέρα· καὶ
δύναται τὸ ΑΒ. ἡ ἄρα τὸ ΑΒ χωρίον δυναμένη
μέσης ἀποτομή ἐστι δευτέρα :—



ϟε Ἐὰν χωρίον περιέχηται ὑπὸ ῥητῆς καὶ ἀποτομῆς τε-
τάρτης, ἡ τὸ χωρίον δυναμένη ἐλάσσων ἐστί. χω-
ρίον γὰρ τὸ ΑΒ περιεχέσθω ὑπὸ ῥητῆς τῆς ΑΓ καὶ ἀ-
ποτομῆς τετάρτης τῆς ΑΔ. λέγω ὅτι ἡ τὸ χωρίον

δυναμένη ἐλάσσων ἐστίν. ἔστω γὰρ τῇ ΑΔ προσαρμόζουσα
ἡ ΔΗ· αἱ ἄρα ΑΗ ΗΔ ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι.
καὶ ἡ ΑΗ σύμμετρός ἐστι τῇ ἐκκειμένῃ ῥητῇ τῇ ΑΓ μή-
κει· ἡ δὲ ὅλη ἡ ΑΗ τῆς προσαρμοζούσης τῆς ΔΗ μεῖ-
ζον δύναται τῷ ἀπὸ ἀσυμμέτρου ἑαυτῇ μήκει. ἐπεὶ οὖν
ἡ ΑΗ τῆς ΗΔ μεῖζον δύναται τῷ ἀπὸ ἀσυμμέτρου ἑ-
αυτῇ μήκει· ἐὰν ἄρα τῷ τετάρτῳ μέρει τοῦ ἀπὸ τῆς
ΔΗ ἴσον παρὰ τὴν ΑΗ παραβληθῇ ἐλλεῖπον εἴδει τε-
τραγώνῳ, εἰς ἀσύμμετρα αὐτὴν διελεῖ. τετμήσθω
οὖν ἡ ΔΗ δίχα κατὰ τὸ Ε, καὶ τῷ ἀπὸ τῆς ΕΗ ἴσον πα-
ρὰ τὴν ΑΗ παραβεβλήσθω ἐλλεῖπον εἴδει τετραγώνῳ.
καὶ ἔστω τὸ ὑπὸ τῶν ΑΖ ΖΗ· ἀσύμμετρος ἄρα ἐστὶ μήκει ἡ
ΑΖ τῇ ΖΗ. ἤχθωσαν οὖν διὰ τῶν Ε Ζ Η παράλληλοι ταῖς
ΑΓ ΒΔ αἱ ΕΘ ΖΙ ΗΚ. ἐπεὶ οὖν ῥητή ἐστιν ἡ ΑΗ καὶ σύμμε-
τρος τῇ ΑΓ μήκει, ῥητὸν ἄρα ἐστὶν ὅλον τὸ ΑΚ. πάλιν
ἐπεὶ ἀσύμμετρός ἐστιν ἡ ΔΗ τῇ ΑΓ μήκει, καί εἰσιν ἀμ-
φότεραι ῥηταί· μέσον ἄρα ἐστὶ τὸ ΔΚ. πάλιν ἐπεὶ ἀ-
σύμμετρός ἐστιν ἡ ΑΖ τῇ ΖΗ μήκει· ἀσύμμετρον ἄρα καὶ
τὸ ΑΙ τῷ ΖΚ. συνεστάτω οὖν τῷ μὲν ΑΙ ἴσον τετρά-
γωνον τὸ ΛΜ· τῷ δὲ ΖΚ ἴσον ἀφῃρήσθω περὶ τὴν
αὐτὴν γωνίαν τὴν ὑπὸ τῶν ΛΟΜ τὸ ΝΞ· περὶ τὴν
αὐτὴν ἄρα διάμετρόν ἐστι τὰ ΛΜ ΝΞ τετράγωνα. ἔστω
αὐτῶν διάμετρος ἡ ΟΡ, καὶ καταγεγράφθω τὸ σχῆμα.
ἐπεὶ οὖν τὸ ὑπὸ τῶν ΑΖ ΖΗ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΕΗ.
ἀνάλογον ἄρα ἐστὶν ὡς ἡ ΑΖ πρὸς τὴν ΕΗ, οὕτως ἡ ΕΗ
πρὸς τὴν ΖΗ. ἀλλ᾽ ὡς μὲν ἡ ΑΖ πρὸς τὴν ΕΗ, οὕτως ἐστὶ



